UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Isidoro Presbytero. 94.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

intulit, nec vim illecebris ac perſuaſioni prætulit, verùm effecit, vt niſi effuſis genis pudor voluntatem obtexiſſet, aſſenſum libidini præberet, vſque adeò eum ſupplicio dignum eſſe cenſuit, vt & accuſator, & Iudex, & carnifex ipſius fieret. Quo nomine apud Areopagum à Neptuno accuſatus, atque conuictus, ipſe quidem ſupplicio affectus eſt: loco autem, ad ſempiternã infamiam ipſi inurendã, nomen reliquit.

δὼς, τὸ ἐθελούσιον περιέστελλεν. οὕτως ἄξιος εἶναι κολάσεως παρ' αὐτῶν κέκριται, ὡς καὶ διάδικος καὶ κριτὴς καὶ δήμιος αὐτῶν γενέσθαι, ὧν χάριν ἐπὶ τοῦ Ἀρείου πάγου ὑπὸ τοῦ Ποσειδῶνος αἰτιαθεὶς καὶ ἁλοὺς, αὐτὸς μὲν δίκην δέδωκε, τῷ δὲ τόπῳ πρὸς τὸ στηλιτεύεσθαι τὴν αἰσχύνην τοὔνομα καταλέλοιπε.

Theodoſio Scholaſtico. 93.

Sæpenumero eos miratus ſum, qui cùm fidei atque optimæ vitæ curam nullam gerant, ea quærunt ac ſolicitè inueſtigant, quæ nec inueniri poſſunt, & cùm quæruntur, diuinam iram concitant. Nam cùm ea, quæ Deus nobis minimè nota eſſe voluit, tanquam per vim ſcire contendimus, nec eorum ſcientiam conſequemur (quonam enim modo, Deo nolente?) atque ex huiuſmodi inueſtigatione præter periculum nihil percipiemus. Quamobrẽ huiuſmodi rerum explorationem, vt natura noſtra præſtantiorem, captúmque omnem excedentem, miſſam facientes, atque ad rectè fidei, optiméque viuendi rationis portum confugientes, hinc nobis ſecuritatem comparemus.

Θεοδοσίῳ σχολαστικῷ. ςγ.

Πολλάκις ἐθαύμασα τῶν πίστεως μὲν πέρι καὶ πολιτείας ἀρίστης μηδένα ποιουμένων λόγον, ἐκεῖνα δὲ πολυπραγμονούντων καὶ ζητούντων, ἃ μήθ' εὑρεῖν οἷόν τε, καὶ τὸ θεῖον παροξύνει ζητούμενα. ὅταν γὰρ ἅπερ ἡμᾶς οὐκ ἠθέλησεν εἰδέναι, ταῦτα βιαζόμεθα μανθάνειν, οὔτε εἰσόμεθα. πῶς γὰρ θεοῦ μὴ βουλομένου, καὶ τὸ κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περιέσται μόνον. ἐάσαντες τοίνυν, ὡς ὑπερφυῆ καὶ μηδαμόθεν ἁλώσιμον τὴν περὶ τούτων βάσανον, καὶ εἰς τὸν τῆς ὀρθῆς πίστεως καὶ τῆς ἀρίστης πολιτείας καταφυγόντες λιμένα, ἐκεῖθεν ἑαυτοῖς τὴν ἀσφάλειαν ποριζώμεθα.

Iſidoro Preſbytero. 94.

Et admiſſo delicto pœnitentia minimè duci, pernicioſum eſt: & deſperatione affici pernicioſius. Illud enim à ſegnitie ac ſocordia manat: hoc à ſtupore atque indolentia. Quantò autem ſtupor ſocordia grauior eſt, tantò quoque deſperatio negligentiam grauitate ſuperat. Ille enim immedicabile malum eſt: huic ad medecinam aditus patet. Quandoquidem ille deprauati atque corrupti iudicij eſt: hæc autem circunſcriptionis & impoſturæ. Quamobrem ne nos accuſes, vt incuria laborantes, atque ad miſerum Zoſimum literas minimè cudentes, cùm ille duobus his moleſtiſſimis vitiis depreſſus ſit, nempe ſocordia, & ſtupore. Non enim in-

Ἰσιδώρῳ πρεσβυτέρῳ. ςδ.

Καὶ τὸ μὴ μεταγινώσκειν πταίοντα ὀλέθριον. καὶ τὸ ἀπογινώσκειν ὀλεθριώτερον, τὸ μὲν ἀπὸ ῥᾳθυμίας, τὸ δὲ ἀπὸ ἀναλγησίας φύεται. ὅσῳ δὲ ἀναλγησία ῥᾳθυμίας χαλεπώτερον, τοσούτῳ ἀπόγνωσις ῥᾳθυμίας ἀργαλεώτερον. τὸ μὲν γὰρ ἀνήκεστόν ἐστι κακόν. τὸ δ' εἰς θεραπείαν βαδιεῖται. ἐπειδὴ τὸ μὲν κρίσεως ἐστὶ διεφθαρμένης, τὸ δὲ παραλογισμοῦ καὶ ἀπάτης. τί τοίνυν ἡμῖν ἐγκαλεῖς ὡς ἀμελοῦσι, καὶ μὴ χαράττουσι πρὸς τὸν δείλαιον Ζώσιμον γράμματα, ἐκείνου δύο τοῖς ἀργαλεωτάτοις βαπτισθέντος κακοῖς, ῥᾳθυμίᾳ τε καὶ ἀναλγησίᾳ, οὐκ ἠμελήσαμεν, ὦ βέλτιστε, ἀλλὰ παρὰ πολλῶν τούτου ἕνεκεν

κεν πολλάκις παρορμηθέντες κεκμήκαμεν καὶ λόγων καὶ προτροπῇ, καὶ ἀπειλῇ, καὶ ἐπαγγελίᾳ, καὶ κολάσει νουθετοῦντες τὸ ἀμείλικτον ἐκεῖνο θηρίον. καὶ ὡς ἔοικεν, ἐλάθομεν, αἰθίοπα σμήχοντες, καὶ ἀνθρωπόμορφον δαίμονα εἰς ἡμερότητα ἐκβιάζεσθαι φιλονεικοῦντες. εἰδὼς τοίνυν, ὡς τῶν εἰς ἡμᾶς ἡκόντων οὐδὲν οὔτε παρελείφθη, οὔτε παραλειφθήσεται, τὰς σὰς αὐτῷ χαρίσαι προσευχάς. τάχα πῶς ἀνενέγκοι ἐκ τῆς τοσαύτης μανίας.

curia laborauimus, optime vir, verùm à multis hac de cauſa perſæpe incitati, indomitã illam feram, & ſermone, & cohortatione, & minis, & pollicitatione, & ſuppliciis ad defatigationem vſque monuimus. Verùm, vt apparet, illud minimè animaduertimus, nos Æthiopẽ dealbare, dæmonémque humana forma præditum ad mãſuetudinem & lenitatem pertrahere ſtudere. Quamobrem iſtud compertum habẽs, nos quicquam, quod ad officium noſtrum pertineat, nec prætermiſiſſe, nec prætermiſſuros eſſe, tuas ipſe preces largire. Sic enim fortaſſe ex tanta inſania emerget.

Τῷ αὐτῷ. ϛε.

Η μὲν συγγνώμη ἐκείνοις νέμεσθαι ἂν εἴη δικαία τοῖς μὴ διὰ χρηστότητος εἰς μείζονα παιδοτριβουμένοις πλαίσματα, ἡ δὲ κόλασις ἕπεσθαι ὀφείλει τοῖς ὑπὸ τῆς χρηστότητος μὴ ὠφελουμένοις. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἐπειδὴ δὲ γέγραφας βούλεσθαι μὲν περὶ ῥήσεων προφητικῶν πυθέσθαι, μὴ τολμᾶν δὲ, ἀντεπιστέλλω. ὅτι ἀπεχθοίμην ἂν σοι, εἰ αἰσθοίμην σιγῶντα ἃ ἐρέσθαι βούλειο.

Eidem. 95.

His quidem ignoſci meritò queat qui per lenitatem ad maiora peccata haudquaquam erudiuntur. Eos autem pœna ſubſequi debet, qui ex lenitate nihil emolumenti percipiunt, Atque hæc hactenus. Quoniam autem ſcripſiſti, tibi quidem in animo eſſe de Propheticis quibuſdam vocibus me interrogare, verùm id facere minimè audere, illud reſcribo, me infenſo animo in te futurum, ſi te, quæ percunctari velis, reticere ſenſero.

Τιμοθέῳ ἀναγνώστῃ. ϛϛ.

Εοικας πεπεῖσθαι τῷ θεσπεσίῳ Παύλῳ, καὶ τῇ ἀναγνώσει προσέχειν τὸν νοῦν. διὸ δὴ καὶ αὐτὸς σαφηνίσαι τὸ παρὰ σοῦ προβληθὲν πειράσομαι. ἔφης γὰρ πῶς εἶχε ἐν αὐτῇ τῇ νυκτὶ ἀπέθανε Βαλτάσαρ ὁ βασιλεὺς ἔφη ἡ γραφή. καὶ εἶπε Βαλτάσαρ καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ. καὶ ἐκήρυξαν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ αὐτοῦ. οἶμαι τοίνυν ὅτι ἐπειδὴ ἡ μὲν θεία ἀπόφασις σκότους ἤδη τυγχάνοντος ἐπὶ τοῦ τοίχου ἐχαράχθη. τοῦτο γὰρ δηλοῖ τὸ κατέναντι τῆς λαμπάδος. ὁ δὲ βασιλεὺς ἐταράχθη σφόδρα καὶ παρελύθη ὑπὸ τοῦ

Timotheo Lectori. 96.

Apparet te diuini viri Pauli verbis obtemperare, mentémque lectioni attentam habere. *1. Tim. 4.* Ac propterea ipſe quoque id, quod abs te propoſitum eſt, explanare conabor. Quæſiuiſti enim quonam pacto cùm rex Balthaſar in ipſa nocte oppreſſus fuerit, his verbis vſa ſit Scriptura, Et dixit Balthaſar, *Dan. 5.* & indutus eſt Daniel purpura, & circundata eſt torques aurea collo eius, & prædicatum eſt de eo quòd haberet poteſtatem tertius à rege. Exiſtimo igitur poſteaquàm diuina ſententia, coortis iam tenebris, in pariete ſculpta fuerat, (hoc enim verba illa indicant, contra candelabrum) rex autem vehementer conturbatus ac metu fractus ac diſſolutus erat: regina porrò de mentis gradu deturbata, ob regis diſſolu-